ἀλλ᾿ αἰσχροκερδῶς χρηματιστικοῖς ὅλως·
τοίοισιν, οἷα γ᾿ οὐκ ἀνάσχοιτ᾿ ἂν τέχνη
βάναυσος οὔπως, μήτι δὴ παιωνία
πασῶν ὑπερφέρουσα τῶν τεχνῶν λόγῳ
οὕτῳ χρεὼν πᾶν ἐκτελεῖν τὸ πρακτέον,
καὶ τῷδ᾿ ἀκιβδήλῳ τε κἀκραιφνεστάτῳ,
ὕλῃ τ᾿ ἐς ἥνπερ ἀσχολεῖθ᾿, ἥτις δέμας
βρότειόν ἐστι, προὖχον ἄλλων πλειόνων
οὐχ᾿ ἁρμογῇ μὲν τῆς κατασκευῆς μόνῃ,
ἀλλ᾿ ἐν τροφῇ τε κἀναγωγῇ καὶ λόγῳ·
οἱ πάντα μᾶλλον δρᾶν νοσούντων πρὸς χάριν
κἂν τῇ προστάξει σιτίων κἂν φαρμάκων
σπεύδουσιν, ἢ τοὺσδ᾿ ὠφελεῖν τοῖς προσφόροις.
αἱρούμενοι γοῦν ἡδέ᾿ ἀντ᾿ ὀνησίμων
πολλοῖς ἀρέσκειν τῷδε θηρῶνται τρόπῳ,
κἀνθένδ᾿ αἰδρείαν τε κεύθειν ῥᾳδίως.
καὶ μέχρι θητείας τε λατρείας τ᾿ ἄγαν
μικροπρεπῶς χωροῦσι κἀνελευθέρως
δούλους ἑαυτοὺς δρῶντες ἀντ᾿ ἀκεστόρων,
κἀγκείμενοι νύκτωρ τε καὶ μεθ᾿ ἡμέραν
κλίναις νοσούντων, οὐκ ὀνήσεως χάριν,
ἀλλ᾿ ὡς πρόθυμοι τοῖσδε δόξωσι πλέον,
χ᾿ οὕτως ἰατρῶν κλήσεως τύχωσί πως.

ς. Ἣ τήνδ᾿ ὑποκλέπτουσι τὴν ἀπειρίαν
κἀτεχνίαν οἵδ᾿ ἄλλοτ᾿ ἐντέχνως πάνυ
πῇ μὲν σιωπῇ, πῇ δὲ πειθανοῖς λόγοις,

ἐπι-